LUCIANO

Μακρόβιοι

LOS LONGEVOS



La traducción de este volumen ha sido revisada por ALFONSO MARTÍNEZ DÍEZ

TRADUCCIÓN Y NOTAS POR ANDRÉS ESPINOSA ALARCÓN

Texto griego de Luciano:

http://www.perseus.tufts.edu/hopper/text;jsessionid=A80759D59E6A9B53DBA921989AD6261F?doc=Perseus%3atext%3a2008.01.0430

12
LOS LONGEVOS
Μακρόβιοι
Macrobii

Los más de los críticos y los mejores rechazan la paternidad lucianesca para esta obra, y creemos que acertadamente, entre otras razones por la gran diferencia de estilo, en forma y contenido, respecto del resto del *corpus.* Si bien los argumentos estilísticos nunca son concluyentes, es difícil aceptar que sea debida al mismo autor de los *Diálogos de los dioses* esta seca enumeración catalógica de ancianos célebres, sin la sal crítica y el humor perenne del samosatense o, al menos, algún rasgo de destreza retórica, belleza formal o ingenio chispeante a que nos tiene habituados. Pero hay más: el servilismo tan ostensible de que hace gala el autor, tanto ante el gobernador romano de Grecia, uno de los hermanos Quintilos, al que llega a llamar «divino» (cf. 29), como al referirse a los Césares romanos (cf. 9, 17, 21, 23) y al propio Platón (21), calificados asimismo de dioses o divinos, no es propio, al menos en la versión escrita de su talante, de Luciano; y no sirva de disculpas que se trata de una obra «de obsequio» y sumisión, ni lo habitual de estos tratamientos en la prosa de la cancillería imperial. Luciano, de haberla escrito —creemos—, habría dado alguna leve muestra de ingenio personal, al menos.

Ello no significa que la obra carezca de interés para el lector: es una rica galería de anécdotas, curiosidades, personajes históricos, datos biográficos, siquiera sean a nivel de leyenda, etcétera. Es una relación erudita de uno de tantos «gramáticos» u hombres de letras griegos instalados en Roma (cf. 9), de cuyo clima hace un elogio, fundando en él la esperada longevidad del emperador, «señor de toda tierra y mar».



12

LOS LONGEVOS

Μακρόβιοι

Macrobii

[1] ὄναρ τι τοῦτο, λαμπρότατε Κυίντιλλε, κελευσθεὶς προσφέρω σοι δῶρον τοὺς μακροβίους, πάλαι μὲν τὸ ὄναρ ἰδὼν καὶ ἱστορήσας τοῖς φίλοις, ὅτε ἐτίθεσο τῷ δευτέρῳ σου παιδὶ τοὔνομα: συμβαλεῖν δὲ οὐκ ἔχων τίνας ὁ θεὸς κελεύει μοι προσφέρειν σοι τοὺς μακροβίους, τότε μὲν εὐξάμην τοῖς θεοῖς ἐπὶ μήκιστον ὑμᾶς βιῶναι σέ τε αὐτὸν καὶ παῖδας τοὺς σούς, τοῦτο συμφέρειν νομίζων καὶ σύμπαντι μὲν τῷ τῶν ἀνθρώπων γένει, πρὸ δὲ τῶν ἁπάντων αὐτῷ τε ἐμοὶ καὶ πᾶσι τοῖς ἐμοῖς: καὶ γὰρ κἀμοί τι ἀγαθὸν ἐδόκει προσημαίνειν ὁ θεός.

1 A instancias de un sueño, ilustrísimo Quintilo[1], te ofrezco este presente: *Los Longevos.* Tiempo ha que tuve el sueño y lo narré a los amigos, cuando diste nombre a tu segundo hijo. Empero, incapaz de comprender por qué la divinidad me obligaba a ofrecerte *Los Longevos,* rogué entonces a los dioses una muy prolongada existencia para ti y para tus hijos, por considerar que ello beneficiaría a todo el género humano, y, antes que a nadie, a mí mismo y a mis hijos, pues también para mí parecía predecir la divinidad algún bien.

[2] σκεπτόμενος δὲ κατ᾽ ἐμαυτὸν εἰς ἔννοιαν ἦλθον, εἰκὸς εἶναι τοὺς θεοὺς ἀνδρὶ περὶ παιδείαν ἔχοντι ταῦτα προστάσσοντας κελεύειν προσφέρειν σοι τῶν ἀπὸ τῆς τέχνης. ταύτην οὖν αἰσιωτάτην νομίζων τὴν τῶν σῶν γενεθλίων ἡμέραν δίδωμί σοι τοὺς ἱστορημένους εἰς μακρὸν γῆρας ἀφικέσθαι ἐν ὑγιαινούσῃ τῇ ψυχῇ καὶ ὁλοκλήρῳ τῷ σώματι. καὶ γὰρ ἂν καὶ ὄφελος γένοιτό τί σοι ἐκ τοῦ συγγράμματος διπλοῦν τὸ μὲν εὐθυμία τις καὶ ἐλπὶς ἀγαθὴ καὶ αὐτὸν ἐπὶ μήκιστον δύνασθαι βιῶναι, τὸ δὲ διδασκαλία τις ἐκ παραδειγμάτων, εἰ ἐπιγνοίης ὅτι οἱ μάλιστα ἑαυτῶν ἐπιμέλειαν ποιησάμενοι κατά τε σῶμα [p. 224] καὶ κατὰ ψυχήν, οὗτοι δὴ εἰς μακρότατον γῆρας ἦλθον σὺν ὑγιείᾳ παντελεῖ.

2 En mi profundo meditar llegué a la conclusión de que probablemente los dioses, al imponer esta tarea a un hombre de letras, me obligaban a ofrecerte algo de ese arte. Considerando, pues, más propicio para ello el día de tu cumpleaños, te ofrezco la relación de quienes la historia dice que alcanzaron una larga ancianidad con salud mental e integridad física. Podrás así obtener un doble provecho de mi escrito: ánimo y buena esperanza de poder alcanzar también tú una muy larga existencia, y asimismo una enseñanza a través de ejemplos, si reparas en que son los hombres más preocupados de su cuerpo y de su mente quienes alcanzan la más larga ancianidad con salud completa.

[1] Cf. Introducción.

[3] Νέστορα μὲν οὖν τὸν σοφώτατον τῶν Ἀχαιῶν ἐπὶ τρεῖς παρατεῖναι γενεὰς Ὅμηρος λέγει, ὃν συνίστησιν ἡμῖν γεγυμνασμένον ἄριστα καὶ ψυχῇ καὶ σώματι. καὶ Τειρεσίαν δὲ τὸν μάντιν ἡ τραγῳδία μέχρις ἓξ γενεῶν παρατεῖναι λέγει. πιθανὸν δ᾽ ἂν εἴη ἄνδρα θεοῖς ἀνακείμενον καθαρωτέρᾳ διαίτῃ χρώμενον ἐπὶ μήκιστον βιῶναι.

3 De Néstor, por ejemplo, el más sabio de los aqueos, dice Homero[2] que sobrevivió a tres generaciones: de él nos cuenta que se hallaba en excelente forma, tanto mental como física. En cuanto a Tiresias, el adivino, nos dice la tragedia[3] que sobrevivió a seis generaciones; y puede creerse que un hombre consagrado a los dioses, con una dieta más simple, alcance una gran longevidad.

[4] καὶ γένη δὲ ὅλα μακρόβια ἱστορεῖται διὰ τὴν δίαιταν, ὥσπερ Αἰγυπτίων οἱ καλούμενοι ἱερογραμματεῖς., Ἀσσυρίων δὲ καὶ Ἀράβων οἱ ἐξηγηταὶ τῶν μύθων, Ἰνδῶν δὲ οἱ καλούμενοι Βραχμᾶνες, ἄνδρες ἀκριβῶς φιλοσοφίᾳ σχολάζοντες, καὶ οἱ καλούμενοι δὲ μάγοι, γένος τοῦτο μαντικὸν καὶ θεοῖς ἀνακείμενον παρά τε Πέρσαις καὶ Πάρθοις καὶ Βάκτροις καὶ Χωρασμίοις καὶ Ἀρείοις καὶ Σάκαις καὶ Μήδοις καὶ παρὰ πολλοῖς ἄλλοις βαρβάροις, ἐρρωμένοι τέ εἰσι καὶ πολυχρόνιοι διὰ τὸ μαγεύειν διαιτώμενοι καὶ αὐτοὶ ἀκριβέστερον.

4 También hay referencias de castas enteras longevas a causa de la dieta, como, entre los egipcios, los llamados escribas[4]; entre los asirios y árabes, los exegetas de los relatos; y, entre los indios, los llamados brahmanes, hombres escrupulosamente consagrados a la filosofía. También los llamados magos, una casta profética entre los persas, partos, bactrianos, corasmianos, arios, sacas, medos, y muchos otros pueblos bárbaros, son fuertes y de vida dilatada, al observar ellos una dieta muy rigurosa por practicar la magia.

[5] ἤδη δὲ καὶ ἔθνη ὅλα μακροβιώτατα, ὥσπερ Σῆρας μὲν ἱστοροῦσι μέχρι τριακοσίων ζῆν ἐτῶν, οἱ μὲν τῷ ἀέρι, οἱ δὲ τῇ γῇ τὴν αἰτίαν τοῦ μακροῦ γήρως προστιθέντες, οἱ δὲ καὶ τῇ διαίτῃ: ὑδροποτεῖν γάρ φασι τὸ ἔθνος τοῦτο σύμπαν. καὶ Ἀθῴτας δὲ μέχρι τριάκοντα καὶ ἑκατὸν ἐτῶν βιοῦν ἱστορεῖται, καὶ τοὺς Χαλδαίους ὑπὲρ τὰ ἑκατὸν ἔτη βιοῦν λόγος, τούτους μὲν καὶ κριθίνῳ ἄρτῳ χρωμένους, ὡς ὀξυδορκίας τοῦτο φάρμακον οἷς γέ φασι διὰ τὴν τοιαύτην δίαιταν καὶ τὰς ἄλλας αἰσθήσεις ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους

5 Hay, asimismo, referencias de pueblos enteros de gran longevidad, como el caso de los seres, que viven trescientos años, atribuyendo unos su gran vejez al clima, otros al suelo, otros —en cambio— a su dieta, pues dicen que ese pueblo en su totalidad se alimenta sólo de agua. También de los habitantes de Atos[5] se cuenta que viven hasta ciento treinta años, y se afirma que los caldeos viven más de cien, consumiendo pan de cebada como medicamento para preservar su agudeza visual; de ellos se dice que, gracias a esta

[2] *Ilíada* I 250; *Odisea* III 245.
[3] Ignoramos el pasaje, perteneciente sin duda a una obra perdida.
[4] Griego *hierogrammateis*, literalmente «escribas sagrados», copistas de los libros de Isis y Osiris.
[5] Monte de la Calcídica, junto al Egeo.

ἐρρωμένας εἶναι. [p. 226]

dieta, sus otras facultades se hallan más robustecidas que en el resto de los hombres.

[6] ἀλλὰ ταῦτα μὲν περί τε τῶν μακροβίων γενῶν καὶ τῶν ἐθνῶν, ἅτινά φασιν ὡς ἐπὶ πλεῖστον διαγίγνεσθαι χρόνον, οἱ μὲν διὰ τὴν γῆν καὶ τὸν ἀέρα, οἱ δὲ διὰ τὴν δίαιταν, οἱ δὲ καὶ δι᾽ ἄμφω. ἐγὼ δ᾽ ἄν σοι δικαίως τὴν ἐλπίδα ῥᾳδίαν παράσχοιμι ἱστορήσας ὅτι καὶ κατὰ πᾶσαν γῆν καὶ κατὰ πάντα ἀέρα μακρόβιοι γεγόνασιν ἄνδρες οἱ γυμνασίοις τοῖς προσήκουσιν καὶ διαίτῃ τῇ ἐπιτηδειοτάτῃ πρὸς ὑγίειαν χρώμενοι.

6 Todo ello se refiere a las castas y pueblos longevos que se dice han existido durante mucho tiempo, por su suelo y su clima para unos, por su dieta para otros, o por ambos motivos para otros. Mas yo, honradamente, puedo asegurarte que tu esperanza es fácil de lograr refiriéndote que en todo suelo y en todo clima han existido hombres longevos, aquellos que han empleado los ejercicios gimnásticos convenientes y la dieta más adecuada para la salud.

[7] διαίρεσιν δὲ τοῦ λόγου ποιήσομαι τὴν πρώτην κατὰ τἀπιτηδεύματα τῶν ἀνδρῶν, καὶ πρώτους γέ σοι τοὺς βασιλικοὺς καὶ τοὺς στρατηγικοὺς ἄνδρας ἱστορήσω, ὧν ἕνα ἡ εὐσεβεστάτη μεγάλου θειοτάτου αὐτοκράτορος τύχη εἰς τὴν τελεωτάτην ἀγαγοῦσα τάξιν εὐεργέτηκε τὰ μέγιστα τὴν οἰκουμένην τὴν ἑαυτοῦ: οὕτω γὰρ ἂν ἀπιδὼν καὶ σὺ τῶν μακροβίων ἀνδρῶν πρὸς τὸ ὅμοιον τῆς ἕξεως καὶ τῆς τύχης ἑτοιμότερον ἐλπίσειας γῆρας ὑγιεινὸν καὶ μακρὸν καὶ ἅμα ζηλώσας ἐργάσαιο σαυτῷ τῇ διαίτῃ μέγιστόν τε ἅμα καὶ ὑγιεινότατον βίον.

7 Estableceré la principal división de mi tratado basándome en sus formas de vida, y te hablaré en primer lugar de los reyes y de los generales, a uno de los cuales la piadosísima decisión de un magno y muy divino emperador[6] ha elevado al más alto rango, beneficiando sumamente a todo su imperio habitado. De este modo, al contemplar tú la similitud de condición y fortuna respecto de esos longevos, podrás albergar más fundadas esperanzas en una vejez sana y prolongada, a la vez que por su imitación en tu forma personal de vida podrás hacer tu existencia más larga y más sana.

[8] Πομπίλιος Νουμᾶς ὁ εὐδαιμονέστατος τῶν Ῥωμαίων βασιλέων καὶ μάλιστα περὶ τὴν θεραπείαν τῶν θεῶν ἀσχοληθεὶς ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη βεβιωκέναι ἱστορεῖται. Σέρβιος δὲ Τούλλιος Ῥωμαίων καὶ οὗτος βασιλεὺς ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη καὶ αὐτὸς βιῶσαι ἱστορεῖται. Ταρκυίνιος δὲ ὁ τελευταῖος Ῥωμαίων βασιλεὺς φυγαδευθεὶς

8 De Numa Pompilio, el más afortunado de los reyes de Roma y el más devoto en el culto de los dioses, se cuenta que llegó a vivir más de ochenta años. De Servio Tulio, también rey de Roma, se cuenta igualmente que vivió más de ochenta años. De Tarquinio, el último rey de Roma, tras su destierro y en su estancia en

[6] Dúdase entre Antonino Pío, Caracalla y otros.

καὶ [p. 228] ἐπὶ Κύμης διατρίβων ὑπὲρ τὰ ἐνενὴκοντα ἔτη λέγεται στερρότατα βιῶσαι.

Cumas, se cuenta que vivió más de noventa años con el vigor más pleno.

[9] οὗτοι μὲν οὖν Ῥωμαίων βασιλεῖς, οἷς συνάψω καὶ τοὺς λοιποὺς βασιλέας τοὺς εἰς μακρὸν γῆρας ἀφικομένους καὶ μετ᾽ αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα ἑκάστους. ἐπὶ τέλει δέ σοι καὶ τοὺς λοιποὺς Ῥωμαίων τοὺς εἰς μήκιστον γῆρας ἀφικομένους προσαναγράψω, προσθεὶς ἅμα καὶ τοὺς κατὰ τὴν λοιπὴν Ἰταλίαν ἐπὶ πλεῖστον βιώσαντας: ἀξιόλογος γὰρ ἔλεγχος ἡ ἱστορία τῶν διαβάλλειν πειρωμένων τὸν ἐνταῦθα ἀέρα, ὥστε καὶ ἡμᾶς χρηστοτέρας ἔχειν τὰς ἐλπίδας, τελείους ἡμῖν τὰς εὐχὰς ἔσεσθαι πρὸς τὸ εἰς μήκιστόν τε καὶ λιπαρὸν τὸν πάσης γῆς καὶ θαλάττης δεσπότην γῆρας ἀφικέσθαι, τῇ ἑαυτοῦ οἰκουμένῃ διαρκέσοντα ^ ἤδη καὶ γέροντα.

9 Éstos son, en efecto, los reyes de Roma, a los que añadiré los demás reyes que han alcanzado una prolongada vejez, y a continuación los que siguen según sus formas de vida. Para terminar, te relacionaré a los otros romanos que alcanzaron una vejez más prolongada, añadiendo también a los más longevos del resto de Italia. El relato es una fundada refutación de quienes tratan de calumniar nuestro clima de aquí, de modo que nosotros podremos albergar mejores esperanzas en el cumplimiento de nuestras plegarias por que llegue a una vejez muy prolongada y vigorosa el señor de toda tierra y, mar, gobernando[7] en todo su imperio incluso en la ancianidad.

[10] Ἀργανθώνιος μὲν οὖν Ταρτησσίων βασιλεὺς πεντήκοντα καὶ ἑκατὸν ἔτη βιῶναι λέγεται, ὡς Ἡρόδοτος ὁ λογοποιὸς καὶ ὁ μελοποιὸς Ἀνακρέων: ἀλλὰ τοῦτο μὲν μῦθός τισι δοκεῖ. Ἀγαθοκλῆς δὲ ὁ Σικελίας τύραννος ἐτῶν ἐνενήκοντα ἐτελεύτα, ^ καθάπερ Δημοχάρης καὶ Τίμαιος ἱστοροῦσιν. Ἱέρων τε ὁ Συρακουσίων τύραννος δύο καὶ ἐνενήκοντα ἐτῶν γενόμενος ἐτελεύτα νόσῳ, βασιλεύσας ἑβδομήκοντα ἔτη, ὥσπερ Δημήτριός τε ὁ Καλλατιανὸς καὶ ἄλλοι λέγουσιν. Ἀτέας δὲ Σκυθῶν βασιλεὺς μαχόμενος πρὸς Φίλιππον περὶ τὸν Ἴστρον ποταμὸν ἔπεσεν ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς. Βάρδυλις δὲ ὁ Ἰλλυριῶν βασιλεὺς ἀφ᾽ [p. 230] ἵππου

10 De Argantonio, rey de los tartesios, se dice que vivió ciento cincuenta años, según Heródoto el historiador y Anacreonte el poeta mélico[8], pero algunos lo consideran una fábula. Agatocles, tirano de Sicilia, murió a los noventa años, según cuentan Demócares y Timeo[9]. Hierón, tirano de Siracusa, murió de una enfermedad a la edad de noventa y dos años, según dicen Demetrio de Calatia y otros. Áteas, rey de los escitas, murió combatiendo contra Filipo junto al río Danubio, con más de noventa años de edad.
De Bardilis, rey de los ilirios, se dice que combatió a caballo en la guerra contra

[7] Seguimos la lectura *basileúonta* que dan algunos mss. y acepta MacLeod, frente a *diarkésonta,* presente en otros.
[8] La referencia no es exacta: HERÓDOTO (I 163) le atribuye ciento veinte años, y ANACREONTE (*fr.* 8) ciento cincuenta.
[9] Timeo, en la cita de DIODORO (XXI 16 5) le atribuye setenta y dos.

λέγεται μάχεσθαι ἐν τῷ πρὸς Φίλιππον πολέμῳ εἰς ἐνενήκοντα τελῶν ἔτη. Τήρης δὲ Ὀδρυσῶν βασιλεύς, καθά φησι Θεόπομπος, δύο καὶ ἐνενήκοντα ἐτῶν ἐτελεύτησεν.

Filipo el año en que cumplía los noventa. Teres, rey de los odrisas, murió, según dice Teopompo, a los noventa y dos años.

[11] Ἀντίγονος δὲ ὁ Φιλίππου ὁ μονόφθαλμος βασιλεύων Μακεδόνων περὶ Φρυγίαν μαχόμενος Σελεύκῳ καὶ Λυσιμάχῳ τραύμασι πολλοῖς περιπεσὼν ἐτελεύτησεν ἐτῶν ἑνὸς καὶ, ὀγδοήκοντα ὥσπερ ὁ συστρατευόμενος αὐτῷ Ἱερώνυμος ἱστορεῖ. καὶ Λυσίμαχος δὲ Μακεδόνων βασιλεὺς ἐν τῇ πρὸς, Σέλευκον ἀπώλετο μάχῃ ἔτος ὀγδοηκοστὸν τελῶν, ὡς ὁ αὐτός φησιν Ἱερώνυμος. Ἀντίγονος δέ, ὃς υἱὸς ^ μὲν ἦν Δημητρίου, υἱωνὸς δὲ Ἀντιγόνου τοῦ μονοφθάλμου, οὗτος τέσσαρα καὶ τεσσαράκοντα Μακεδόνων ἐβασίλευσεν ἔτη, ἐβίωσε δὲ ὀγδοήκοντα, ὡς Μήδειός τε ἱστορεῖ καὶ ἄλλοι συγγραφεῖς. ὁμοίως δὲ καὶ Ἀντίπατρος ὁ Ἰολάου μέγιστον δυνηθεὶς καὶ ἐπιτροπεύσας πολλοὺς Μακεδόνων βασιλέας ὑπὲρ τὰ ὀγδοήκοντα οὗτος ἔτη ζήσας ἐτελεύτα τὸν βίον.

11 Antígono el Tuerto, hijo de Filipo y rey de Macedonia, murió en Frigia luchando contra Seleuco y Lisímaco, abatido por múltiples heridas, con ochenta y un años, según refiere Jerónimo, que combatió a su lado. Lisímaco, rey de Macedonia, cayó también en la batalla contra Seleuco el año en que cumplía los ochenta, según dice el mismo Jerónimo. Y otro Antígono, hijo de Demetrio y nieto de Antígono el Tuerto, reinó en Macedonia cuarenta y cuatro años, según refiere Medeo y otros escritores. De igual modo, Antípatro, hijo de Yolao, gozó de enorme poderío, fue regente de muchos reyes de Macedonia y contaba más de ochenta años cuando murió.

[12] Πτολεμαῖος δὲ ὁ Λάγου ὁ τῶν καθ᾽ αὑτὸν εὐδαιμονέστατος βασιλέων Αἰγύπτου μὲν ἐβασίλευσεν, τέσσαρα δὲ καὶ ὀγδοήκοντα βιώσας ἔτη ζῶν παρέδωκεν τὴν ἀρχὴν πρὸ δύο ἐτοῖν τῆς τελευτῆς Πτολεμαίῳ τῷ υἱῷ, Φιλαδέλφῳ δὲ ἐπίκλησιν, ὅστις διεδέξατο τὴν πατρῴαν βασιλείαν ἀδελφῶν. .. φιλέταιρος δὲ πρῶτος μὲν ἐκτήσατο τὴν περὶ Πέργαμον ἀρχὴν καὶ κατέσχεν εὐνοῦχος ὤν, κατέστρεψε δὲ τὸν βίον ὀγδοήκοντα ἐτῶν [p. 232] γενόμενος. Ἄτταλος δὲ ὁ ἐπικληθεὶς Φιλάδελφος, τῶν Περγαμηνῶν καὶ οὗτος βασιλεύων, πρὸς ὃν καὶ Σκιπίων Ῥωμαίων στρατηγὸς ἀφίκετο, δύο καὶ ὀγδοήκοντα ἐτῶν ἐξέλιπε τὸν βίον.

12 Tolomeo, hijo de Lago, el más afortunado de los reyes de su tiempo, reinó en Egipto, y a la edad de ochenta y cuatro años, dos antes de su muerte, abdicó en su hijo Tolomeo, de sobrenombre Filadelfo, el cual sucedió en el trono a su padre y <casó> [10] con su hermana. Filetero, un eunuco, fue el primero en alcanzar y consolidar el trono de Pérgamo, y acabó su vida a los ochenta. Atalo, llamado Filadelfo, también rey de Pérgamo, a quien visitó el general romano Escipión, abandonó la vida a los ochenta y dos.

[10] Hay laguna; seguimos la lectura *adelphén gamón* propuesta por Schwartz.

[13] Μιθριδάτης δ᾽ ὁ Πόντου βασιλεὺς ὁ προσαγορευθεὶς Κτίστης Ἀντίγονον τὸν μονόφθαλμον φεύγων ἐπὶ Πόντου ἐτελεύτησεν βιώσας ἔτη τέσσαρα καὶ ὀγδοήκοντα, ὥσπερ Ἱερώνυμος ἱστορεῖ καὶ ἄλλοι συγγραφεῖς. Ἀριαράθης δὲ ὁ Καππαδοκῶν βασιλεὺς δύο μὲν καὶ ὀγδοήκοντα ἔζησεν ἔτη, ὡς Ἱερώνυμος ἱστορεῖ: ἐδυνήθη δὲ ἴσως καὶ ἐπὶ πλέον διαγενέσθαι, ἀλλ᾽ ἐν τῇ πρὸς: Περδίκκαν μάχῃ ζωγρηθεὶς ἀνεσκολοπίσθη.

13 Mitrídates, rey del Ponto, llamado el Fundador, desterrado por Antígono el Tuerto, murió en el Ponto a la edad de ochenta y cuatro, según cuenta Jerónimo y otros escritores. Ariarates, rey de Capadocia, vivió ochenta y dos años, y tal vez podría haber alcanzado más edad, pero en la batalla contra Perdicas fue hecho prisionero y crucificado.

[14] Κῦρος δὲ ὁ Περσῶν, βασιλεὺς ὁ παλαιός, ὡς δηλοῦσιν οἱ Περσῶν καὶ Ἀσσυρίων ὧροι, οἷς καὶ Ὀνησίκριτος ὁ τὰ περὶ Ἀλέξανδρον συγγράψας συμφωνεῖν δοκεῖ, ἑκατοντούτης γενόμενος ἐζήτει μὲν ἕνα ἕκαστον τῶν φίλων, μαθὼν δὲ τοὺς πλείστους διεφθαρμένους ὑπὸ Καμβύσου τοῦ υἱέος, καὶ φάσκοντος Καμβύσου κατὰ πρόσταγμα τὸ ἐκείνου ταῦτα πεποιηκέναι, τὸ μέν τι πρὸς τὴν ὠμότητα τοῦ υἱοῦ διαβληθείς, τό τι ὡς παρανοοῦντα αὑτὸν αἰτιασάμενος ἀθυμήσας ἐτελεύτα τὸν βίον.

14 Ciro el Viejo, rey de los persas, según el testimonio de las crónicas persas y asirias, con las que parece concordar Onesícrito —el historiador de Alejandro—, a la edad de cien años ordenó buscar a sus amigos, uno a uno; cuando supo que la mayoría habían muerto a manos de su hijo Cambises, y como Cambises le asegurara que lo había hecho obedeciendo a sus órdenes, murió de tristeza, en parte censurado por la crueldad de su hijo, en parte acusándose a sí mismo de debilidad mental.

[15] Ἀρταξέρξης ὁ Μνήμων ἐπικληθείς, ἐφ᾽ ὃν Κῦρος ὁ ἀδελφὸς ἐστρατεύσατο, βασιλεύων ἐν Πέρσαις ἐτελεύτησεν νόσῳ ἓξ καὶ ὀγδοήκοντα ἐτῶν γενόμενος, ὡς δὲ Δίνων ἱστορεῖ, τεσσάρων καὶ ἐνενήκοντα. Ἀρταξέρξης ἕτερος Περσῶν βασιλεύς, ὃν φησιν ἐπὶ τῶν πατέρων τῶν ἑαυτοῦ Ἰσίδωρος ὁ Χαρακηνὸς συγγραφεὺς βασιλεύειν, ἔτη τρία καὶ ἐνενήκοντα βιοὺς ἐπιβουλῇ τἀδελφοῦ Γωσίθρου [p. 234] ἐδολοφονήθη. Σινατρόκης δὲ ὁ Παρθυαίων βασιλεὺς ἔτος ὀγδοηκοστὸν ἤδη γεγονὼς ὑπὸ Σακαυράκων Σκυθῶν καταχθεὶς βασιλεύειν ἤρξατο καὶ ἐβασίλευσεν ἔτη ἑπτά. Τιγράνης δὲ ὁ Ἀρμενίων βασιλεύς, πρὸς ὃν Λούκουλλος ἐπολέμησεν, πέντε καὶ ὀγδοήκοντα ἐτῶν ἐτελεύτα νόσῳ.

15 Artajerjes, llamado el Memorioso, contra quien Ciro, su hermano, llevó una expedición, era rey de Persia cuando murió de enfermedad a los ochenta y seis años —según el testimonio de Dinón, a los ochenta y cuatro—. Otro Artajerjes, rey de Persia, de quien dice el historiador Isidoro de Caracene que ocupó el trono en vida de los padres de Isidoro, fue asesinado a la edad de noventa y tres años por maquinación de su hermano Gositras. Sinatrocles, rey de Partia, a la edad de ochenta años cumplidos, volvió a su tierra gracias a los escitas sacauraces, subió al trono y reinó siete años. Tigranes, rey de Armenia, contra quien Lúculo combatió, murió con noventa y cinco años, de

enfermedad.

[16] Ὑσπαυσίνης δὲ ὁ Χάρηκος καὶ τῶν κατ᾽ Ἐρυθρὰν θάλασσαν τόπων βασιλεὺς πέντε καὶ ὀγδοήκοντα ἐτῶν νοσήσας ἐτελεύτησεν. Τίραιος δ᾽ ὁ μεθ᾽ Ὑσπαυσίνην τρίτος βασιλεύσας δύο καὶ ἐνενήκοντα βιοὺς ἔτη ^ ἐτελεύτα νόσῳ. Ἀρτάβαζος δὲ ὁ μετὰ Τίραιον ἕβδομος βασιλεύσας Χάρακος ἓξ καὶ ὀγδοήκοντα ἐτῶν καταχθεὶς ὑπὸ Πάρθων ἐβασίλευσε. Καμνασκίρης δὲ βασιλεὺς Παρθυαίων ἓξ καὶ ἐνενήκοντα ἔζησεν ἔτη.

16 Hispausines, rey de Cárax[11] y de las tierras del mar Rojo, murió a los ochenta y cinco años, de enfermedad. Tireo, el segundo sucesor de Hispausines, murió a la edad de noventa y dos años, de enfermedad. Artabazo, el sexto sucesor de Tireo en el trono de Cárax, a los ochenta y seis años volvió a su tierra gracias a los partos e inició su reinado. Camnascires, rey de los partos, vivió noventa y seis años.

[17] Μασσινίσσας δὲ Μαυρουσίων βασιλεὺς ἐνενήκοντα ἐβίωσεν ἔτη. Ἄσανδρος δὲ ὁ ὑπὸ τοῦ θεοῦ Σεβαστοῦ ἀντὶ ἐθνάρχου βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου περὶ ἔτη ὢν ἐνενήκοντα ἱπποµαχῶν καὶ πεζοµαχῶν οὐδενὸς ἥττων ἐφάνη: ὡς δὲ ἑώρα τοὺς ἑαυτοῦ ὑπὸ τὴν µάχην Σκριβωνίῳ προστιθεµένους ἀποσχόµενος σιτίων ἐτελεύτησεν βιοὺς ἔτη τρία καὶ ἐνενήκοντα: Γοαισὸς δέ, ὥς φησιν Ἰσίδωρος ὁ Χαρακηνός, ἐπὶ τῆς ἑαυτοῦ ἡλικίας Ὀµάνων τῆς ἀρωµατοφόρου βασιλεύσας πεντεκαίδεκα καὶ ἑκατὸν γεγονὼς ἐτῶν ἐτελεύτησεν νόσῳ. βασιλέας µὲν οὖν τοσούτους ἱστορήκασι µακροβίους οἱ πρὸ ἡµῶν.

17 Masinisa, rey de los mauritanos, vivió noventa años. Asandro, que fue proclamado rey del Bósforo por el divino Augusto, de etnarca que era, a los noventa años demostró no ser inferior a nadie en la lucha a pie y a caballo; pero cuando vio que los suyos, la víspera de la batalla, se inclinaban por Escribonio, dejó de comer y murió, a la edad de noventa y tres años. Goeso, que, según dice Isidoro de Caracene, fue en su tiempo rey de Omania[12], la productora de especias, murió de enfermedad a los ciento quince años. Estos son los reyes longevos a que se refieren nuestros predecesores.

[18] ἐπεὶ δὲ καὶ φιλόσοφοι καὶ πάντες οἱ 'περὶ παιδείαν ἔχοντες, ἐπιµέλειάν πως καὶ οὗτοι ποιούµενοι ἑαυτῶν, εἰς µακρὸν [p. 236] γῆρας ἦλθον, ἀναγράψοµεν καὶ τούτων τοὺς 'ἱστορηµένους, καὶ πρώτους γε φιλοσόφους. Δηµόκριτος µὲν Ἀβδηρίτης ἐτῶν γεγονὼς τεσσάρων καὶ ἑκατὸν ἀποσχόµενος τροφῆς ἐτελεύτα. Ξενόφιλος δὲ ὁ µουσικός, ὥς φησιν Ἀριστόξενος,

18 Mas ya que filósofos y hombres de letras en general, sin duda por preocuparse ellos de sí mismos, han alcanzado una larga vejez, nos referiremos también a aquellos de que tenemos noticia, y primero a los filósofos. Demócrito de Abdera murió a la edad de ciento cuatro años, al dejar de comer. Jenófilo el músico, según dice Aristóxeno,

[11] Ciudad del golfo de Nicomedia.
[12] En la Arabia feliz (actual Yemen).

προσσχὼν τῇ Πυθαγόρου φιλοσοφίᾳ ὑπὲρ τὰ πέντε καὶ ἑκατὸν ἔτη Ἀθήνησιν ἐβίωσεν. Σόλων δὲ καὶ Θαλῆς καὶ Πιττακός, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη,

ganado por la filosofía de Pitágoras, vivió en Atenas más de ciento cinco años. Solón, Tales y Pítaco, que fueron de los llamados Siete Sabios, vivieron todos ellos cien años.

[19] Ζήνων δὲ ὁ τῆς Στωϊκῆς φιλοσοφίας ἀρχηγὸς ὀκτὼ καὶ ἐνενήκοντα: ὃν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι, Τί με βοᾷς; καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος ἐννέα καὶ ἐνενήκοντα: οὗτος γεγονὼς ἔτη φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους καὶ ἀποκαρτερῶν ἐπελθόντων αὐτῷ παρ᾽ ἑταίρων τινῶν γραμμάτων προσενεγκάμενος τροφὴν καὶ πράξας περὶ ὧν ἠξίουν οἱ φίλοι, ἀποσχόμενος αὖθις τροφῆς ἐξέλιπε τὸν βίον.

19 En cuanto a Zenón, el fundador de la escuela estoica, vivió noventa y ocho. De él cuentan que, al entrar en la asamblea, tropezó y exclamó: « ¿Por qué me llamas?»[13]. Regresó a casa y dejó de comer hasta morir. Cleantes, el discípulo y sucesor de Zenón, tenía noventa y nueve años cuando le apareció un tumor en el labio y, en pleno ayuno, le llegaron cartas de unos amigos; tras ingerir alimento y realizar lo que le pedían los amigos, volvió de nuevo a dejar de comer y falleció.

[20] Ξενοφάνης δὲ ὁ Δεξίνου μὲν υἱός, Ἀρχελάου δὲ τοῦ φυσικοῦ μαθητὴς ἐβίωσεν ἔτη ἓν καὶ ἐνενήκοντα: Ξενοκράτης δὲ Πλάτωνος μαθητὴς γενόμενος τέσσαρα καὶ ὀγδοήκοντα: Καρνεάδης δὲ ὁ τῆς νεωτέρας Ἀκαδημίας ἀρχηγὸς ἔτη πέντε καὶ ὀγδοήκοντα: Χρύσιππος ἓν καὶ ὀγδοήκοντα Διογένης δὲ ὁ Σελευκεὺς ἀπὸ Τίγριος Στωϊκὸς φιλόσοφος ὀκτὼ καὶ ὀγδοήκοντα: Ποσειδώνιος Ἀπαμεὺς τῆς Συρίας, νόμῳ δὲ Ῥόδιος, [p. 238] φιλόσοφός τε ἅμα καὶ ἱστορίας συγγραφεύς τέσσαρα καὶ ὀγδοήκοντα: Κριτόλαος ὁ Περιπατητικὸς ὑπὲρ δύο. καὶ ὀγδοήκοντα.

20 Jenófanes, hijo de Dexino y discípulo de Arquelao, el físico, vivió noventa y un años; Jenócrates, el discípulo de Platón, ochenta y cuatro; Carnéades, el fundador de la Academia Nueva, ochenta y cinco; Crisipo, ochenta y uno; Diógenes de Seleucia de Tigris, filósofo estoico, ochenta y ocho; Posidonio de Apamea de Siria, ciudadano de Rodas, que fue a un tiempo filósofo e historiador, ochenta y cuatro; Critolao, el peripatético, más de ochenta y dos.

[21] Πλάτων δὲ ὁ ἱερώτατος ἓν καὶ ὀγδοήκοντα. Ἀθηνόδωρος Σάνδωνος Ταρσεὺς Στωϊκός, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος Σεβαστοῦ θεοῦ, ὑφ᾽ οὗ ἡ Ταρσέων πόλις καὶ φόρων ἐκουφίσθη, δύο

21 Platón, el divino, vivió ochenta y un años; Atenodoro de Tarso, hijo de Sandón, estoico, preceptor de César Augusto dios, por cuya mediación la ciudad de Tarso fue aliviada en sus tributos, murió a los

[13] Dirigiéndose a Plutón.

καὶ ὀγδοήκοντα ἔτη βιοὺς ἐτελεύτησεν ἐν τῇ πατρίδι, καὶ τιμὰς ὁ Ταρσέων δῆμος αὐτῷ κατ᾽ ἔτος ἕκαστον ἀπονέμει ὡς ἥρωϊ. Νέστωρ δὲ Στωϊκὸς ἀπὸ Ταρσοῦ διδάσκαλος Καίσαρος Τιβερίου ἔτη δύο καὶ ἐνενήκοντα: Ξενοφῶν δὲ ὁ Γρύλλου ὑπὲρ τὰ ἐνενήκοντα ἐβίωσεν ἔτη.

ochenta y dos años en su patria, y el pueblo de Tarso le rinde honras cada año como a un héroe. Néstor, el estoico de Tarso, preceptor de Tiberio César, vivió noventa y dos años; Jenofonte[14], hijo de Grilo, más de noventa. Esos son, de entre los filósofos, los más destacados.

[22] οὗτοι μὲν φιλοσόφων οἱ ἔνδοξοι. συγγραφέων δὲ Κτησίβιος μὲν ἐτῶν ἑκατὸν καὶ τεσσάρων ἐν περιπάτῳ ἐτελεύτησεν, ὡς Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς ἱστορεῖ. Ἱερώνυμος δ᾽ ἐν πολέμοις γενόμενος καὶ πολλοὺς καμάτους ὑπομείνας καὶ τραύματα ἔζησεν ἔτη τέσσαρα καὶ ἑκατόν, ὡς Ἀγαθαρχίδης ἐν τῇ ἑνάτῃ τῶν περὶ τῆς Ἀσίας ἱστοριῶν λέγει, καὶ θαυμάζει γε τὸν ἄνδρα ὡς μέχρι τῆς τελευταίας ἡμέρας ἄρτιον ὄντα ἐν ταῖς συνουσίαις καὶ πᾶσι τοῖς αἰσθητηρίοις, μηδενὸς γενόμενον τῶν πρὸς ὑγίειαν ἐλλιπῆ. Ἑλλάνικος ὁ Λέσβιος ὀγδοήκοντα καὶ πέντε, καὶ Φερεκύδης ὁ Σύριος ὁμοίως ὀγδοήκοντα καὶ πέντε. Τίμαιος ὁ Ταυρομενίτης ἓξ καὶ ἐνενήκοντα: Ἀριστόβουλος δ᾽ ὁ Κασανδρεὺς ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται βεβιωκέναι, τὴν ἱστορίαν δὲ τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος γεγονὼς ἤρξατο συγγράφειν, ὡς [p. 240] αὐτὸς ἐν ἀρχῇ τῆς πραγματείας λέγει. Πολύβιος δὲ ὁ Λυκόρτα Μεγαλοπολίτης ἀγρόθεν ἀνελθὼν ἀφ᾽ ἵππου κατέπεσεν καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν ἐτῶν δύο καὶ ὀγδοήκοντα, Ὑψικράτης δὲ ὁ Ἀμισηνὸς συγγραφεὺς διὰ πολλῶν μαθημάτων γενόμενος ἔτη δύο καὶ ἐνενήκοντα.

22 De los historiadores, Ctesibio murió a los ciento cuatro años, mientras paseaba, según narra Apolodoro en sus *Crónicas.* Jerónimo, que participó en contiendas y sufrió muchas fatigas y heridas, vivió ciento cuatro años, según dice Agatárquides en el libro noveno de su *Historia de Asia,* y se admira de que el hombre, hasta el último día, conservara el vigor en las relaciones sexuales y en todas sus facultades, sin que faltara síntoma alguno de salud. Helánico de Lesbos vivió ochenta y cinco, Ferecides de Siro también ochenta y cinco, Timeo de Tauromenio noventa y seis. De Aristobulo de Casandrea se dice que vivió más de noventa años, y comenzó a escribir su historia a los ochenta y tres, como él mismo dice en el comienzo de su obra. Polibio de Megalópolis, hijo de Licortas, al volver del campo cayó del caballo, y a consecuencia de ello enfermó y murió a los ochenta y dos años. Hipsícrates de Amiso, historiador versado en muchas ciencias, alcanzó los noventa y dos.

[23] ῥητόρων δὲ Γοργίας, ὅν τινες σοφιστὴν καλοῦσιν, ἔτη ⁝: τροφῆς δὲ ἀποσχόμενος ἐτελεύτησεν: ὅν φασιν ἐρωτηθέντα τὴν αἰτίαν τοῦ μακροῦ γήρως καὶ ὑγιεινοῦ ἐν πάσαις ταῖς αἰσθήσεσιν εἰπεῖν, διὰ τὸ

23 De entre los oradores, Gorgias, a quienes algunos denominan sofista, vivió ciento ocho años, y murió al dejar de comer. De él cuentan que, cuando le preguntaban la causa de su dilatada vejez

[14] Es considerado en este caso como filósofo, dada su relación con éstos y el carácter poligráfico de su obra.

μηδέποτε συμπεριενεχθῆναι ταῖς ἄλλων εὐωχίαις. Ἰσοκράτης ἓξ καὶ ἐνενήκοντα ἔτη γεγονὼς τὸν πανηγυρικὸν ἔγραφε λόγον, περὶ ἔτη δ᾽ ἑνὸς ἀποδέοντα ἑκατὸν γεγονὼς ὡς ᾔσθετο Ἀθηναίους ὑπὸ Φιλίππου ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ νενικημένους, ποτνιώμενος τὸν Εὐριπίδειον στίχον προηνέγκατο εἰς ἑαυτὸν ἀναφέρων,

en plenitud de facultades, respondía que era debido a «no haberse visto jamás envuelto en los festines ajenos». Isócrates escribió su *Panegírico* a los noventa y seis años y, faltándole uno para los cien, cuando supo que los atenienses habían sido derrotados por Filipo en la batalla de Queronea, gritó —citando el verso euripideo, que aplicaba a sí mismo—:

Σιδώνιὸν ποτ᾽ ἄστυ Κάδμος ἐκλιπών

Cadmo, tras dejar la plaza de Sidón... [15],

καὶ ἐπειπὼν ὡς δουλεύσει ἡ Ἑλλάς, ἐξέλιπε τὸν βίον. Ἀπολλόδωρος δὲ ὁ Περγαμηνὸς ῥήτωρ, θεοῦ Καίσαρος Σεβαστοῦ διδάσκαλος γενόμενος καὶ σὺν Ἀθηνοδώρῳ τῷ Ταρσεῖ φιλοσόφῳ παιδεύσας αὐτόν, ἔζησεν ταὐτὰ τῷ Ἀθηνοδώρῳ ἔτη ὀγδοήκοντα δύο. Ποτάμων δὲ οὐκ ἄδοξος ῥήτωρ ἔτη ἐνενήκοντα.

y, añadiendo que la Hélade sería esclava, dejó de existir. Apolodoro, el orador de Pérgamo, maestro del dios César Augusto y su preceptor, junto con Atenodoro, el filósofo de Tarso, vivió ochenta y dos años, al igual que Atenodoro. Potamón, orador no carente de celebridad, vivió noventa años.

[24] Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν ἀπεπνίγη πέντε καὶ ἐνενήκοντα ζήσας ἔτη. οὗτος ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει [p. 242] τοῦ βίου παρανοίας κρινόμενος ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ, ἐπιδεικνύμενος διὰ τοῦ δράματος ὅπως τὸν νοῦν ὑγιαίνει, ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν.

24 Sófocles, el trágico, murió de asfixia al tragar un grano de uva a la edad de noventa y cinco años. Llevado a juicio por su hijo Yofonte bajo la imputación de demencia, leyó a los jueces su *Edipo en Colono*, demostrando mediante la pieza su salud mental, de modo que los jueces quedaron profundamente admirados y declararon al hijo convicto de locura.

[25] Κρατῖνος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς ἑπτὰ ^ πρὸς τοῖς ἐνενήκοντα ἔτεσιν ἐβίωσε, καὶ πρὸς τῷ τέλει τοῦ βίου διδάξας τὴν Πυτίνην καὶ νικήσας μετ᾽ οὐ πολὺ ἐτελεύτα. καὶ Φιλήμων δὲ ὁ κωμικός,^ ὁμοίως τῷ Κρατίνῳ ἑπτὰ καὶ ἐνενήκοντα ἔτη βιούς, κατέκειτο μὲν ἐπὶ - κλίνης ἠρεμῶν, θεασάμενος δὲ ὄνον τὰ παρεσκευασμένα αὐτῷ σῦκα κατεσθίοντα

25 Cratino, el poeta cómico, vivió noventa y siete años y, hacia el final de su vida, estrenó *La Botella*, ganó el premio y, poco después, murió. Filemón, el autor cómico, tenía noventa y siete, como Cratino, y estaba recostado en un lecho, descansando: al ver a un asno comerse los higos destinados a él, rompió a reír; llamó a su criado y, con grandes y continuas

[15] *Fr.* 816 NAUCK, perteneciente a la obra perdida *Frixo.*

ὥρμησε μὲν εἰς γέλωτα, καλέσας δὲ τὸν οἰκέτην καὶ σὺν πολλῷ καὶ ἀθρόῳ γέλωτι εἰπὼν προσδοῦναι τῷ ὄνῳ ἀκράτου ῥοφεῖν ἀποπνιγεὶς ὑπὸ τοῦ γέλωτος ἀπέθανεν. καὶ Ἐπίχαρμος δὲ ὁ τῆς κωμῳδίας ποιητὴς καὶ αὐτὸς ἐνενήκοντα καὶ ἑπτὰ ἔτη λέγεται βιῶναι.

carcajadas, dijo que diera además al asno vino puro, y falleció ahogado por la risa[16]. De Epicarmo, el poeta cómico, se dice asimismo que vivió noventa y siete años.

[26] Ἀνακρέων δὲ ὁ τῶν μελῶν ποιητὴς ἔζησεν ἔτη πέντε καὶ ὀγδοήκοντα, καὶ Στησίχορος δὲ ὁ μελοποιὸς ταὐτά, Σιμωνίδης δὲ ὁ Κεῖος ὑπὲρ τὰ ἐνενήκοντα.

26 Anacreonte, el poeta mélico, vivió ochenta y cinco años; Estesícoro, poeta mélico, igualmente, y Simónides de Ceos, más de noventa.

[27] γραμματικῶν δὲ Ἐρατοσθένης μὲν ὁ Ἀγλαοῦ Κυρηναῖος, ὃν οὐ μόνον γραμματικόν, ἀλλὰ καὶ ποιητὴν ἄν τις ὀνομάσειεν καὶ φιλόσοφον καὶ γεωμέτρην, δύο καὶ ὀγδοήκοντα οὗτος ἔζησεν ἔτη.

27 Entre los gramáticos, Eratóstenes de Cirene, hijo de Agleo, que es denominado no sólo gramático, sino también poeta, filósofo y geómetra, vivió ochenta y dos años.

[28] καὶ Λυκοῦργος δὲ ὁ νομοθέτης τῶν Λακεδαιμονίων πέντε καὶ ὀγδοήκοντα ἔτη ζῆσαι ἱστορεῖται. [p. 244]

28 De Licurgo, el legislador espartano, hay referencias de que vivió ochenta y dos años.

[29] τοσούτους ἐδυνήθημεν βασιλέας καὶ πεπαιδευμένους ἀθροῖσαι: ἐπεὶ δὲ ὑπεσχόμην καὶ Ῥωμαίων τινὰς καὶ τῶν τὴν Ἰταλίαν οἰκησάντων μακροβίων ἀναγράψαι, τούτους σοι, θεῶν βουλομένων, ἱερώτατε Κυίντιλλε, ἐν ἄλλῳ δηλώσομεν λόγῳ.

29 Éstos son los reyes y hombres de letras que hemos podido relacionar. Ya que te he prometido enumerar algunos longevos de Roma y de las tierras de Italia, de ellos trataremos en otro libro, divino Quintilo, si los dioses lo quieren[17].

[16] Idéntico relato se cuenta de Crisipo (DIÓGENES LAERCIO, VII 185).

[17] No escrito o perdido.